τὰς σάρκας καὶ στρεβλοῦτε τὰ ἄρθρα. [18]διὰ πασῶν γὰρ ὑμᾶς πείσω 18
τῶν βασάνων ὅτι μόνοι παῖδες Εβραίων ὑπὲρ ἀρετῆς εἰσιν ἀνί-
κητοι. [19]ταῦτα λέγοντι ὑπέστρωσαν πῦρ καὶ τὸ διερεθίζον τὸν τροχὸν 19
προσεπικατέτεινον· [20]ἐμολύνετο δὲ πάντοθεν αἵματι ὁ τροχός, καὶ 20
ὁ σωρὸς τῆς ἀνθρακιᾶς τοῖς τῶν ἰχώρων ἐσβέννυτο σταλαγμοῖς,
καὶ περὶ τοὺς ἄξονας τοῦ ὀργάνου περιέρρεον αἱ σάρκες. [21]καὶ 21
περιτετμημένον ἤδη ἔχων τὸ τῶν ὀστέων πῆγμα ὁ μεγαλόφρων
καὶ Αβραμιαῖος νεανίας οὐκ ἐστέναξεν, [22]ἀλλ᾽ ὥσπερ ἐν πυρὶ μετα- 22
σχηματιζόμενος εἰς ἀφθαρσίαν ὑπέμεινεν εὐγενῶς τὰς στρέβλας
[23]Μιμήσασθέ με, ἀδελφοί, λέγων, μή μου τὸν ἀγῶνα λειποτακτή- 23
σητε μηδὲ ἐξομόσησθέ μου τὴν τῆς εὐψυχίας ἀδελφότητα. [24]ἱερὰν 24
καὶ εὐγενῆ στρατείαν στρατεύσασθε περὶ τῆς εὐσεβείας, δι᾽ ἧς
ἵλεως ἡ δικαία καὶ πάτριος ἡμῶν πρόνοια τῷ ἔθνει γενηθεῖσα τι-
μωρήσειεν τὸν ἀλάστορα τύραννον. [25]καὶ ταῦτα εἰπὼν ὁ ἱεροπρεπὴς 25
νεανίας ἀπέρρηξεν τὴν ψυχήν.

[26]Θαυμασάντων δὲ πάντων τὴν καρτεροψυχίαν αὐτοῦ ἦγον οἱ 26
δορυφόροι τὸν καθ᾽ ἡλικίαν τοῦ προτέρου δεύτερον καὶ σιδηρᾶς
ἐναρμοσάμενοι χεῖρας ὀξέσι τοῖς ὄνυξιν ὀργάνῳ καὶ καταπέλτη
προσέδησαν αὐτόν. [27]ὡς δ᾽ εἰ φαγεῖν βούλοιτο πρὶν βασανίζεσθαι 27
πυνθανόμενοι τὴν εὐγενῆ γνώμην ἤκουσαν, [28]ἀπὸ τῶν τενόντων 28
ταῖς σιδηραῖς χερσὶν ἐπισπασάμενοι μέχρι τῶν γενείων τὴν σάρκα
πᾶσαν καὶ τὴν τῆς κεφαλῆς δορὰν οἱ παρδάλεοι θῆρες ἀπέσυρον.
ὁ δὲ ταύτην βαρέως τὴν ἀλγηδόνα καρτερῶν ἔλεγεν [29]Ὡς ἡδὺς 29
πᾶς θανάτου τρόπος διὰ τὴν πάτριον ἡμῶν εὐσέβειαν. ἔφη τε
πρὸς τὸν τύραννον [30]Οὐ δοκεῖς, πάντων ὠμότατε τύραννε, πλέον 30
ἐμοῦ σε βασανίζεσθαι ὁρῶν σου νικώμενον τὸν τῆς τυραννίδος
ὑπερήφανον λογισμὸν ὑπὸ τῆς διὰ τὴν εὐσέβειαν ἡμῶν ὑπομονῆς;
[31]ἐγὼ μὲν γὰρ ταῖς διὰ τὴν ἀρετὴν ἡδοναῖς τὸν πόνον ἐπικου- 31
φίζομαι, [32]σὺ δὲ ἐν ταῖς τῆς ἀσεβείας ἀπειλαῖς βασανίζῃ. οὐκ ἐκ- 32
φεύξῃ δέ, μιαρώτατε τύραννε, τὰς τῆς θείας ὀργῆς δίκας.

[1]Καὶ τούτου τὸν ἀοίδιμον θάνατον καρτερήσαντος ὁ τρίτος ἤγετο 10
παρακαλούμενος πολλὰ ὑπὸ πολλῶν ὅπως ἀπογευσάμενος σῴζοιτο.

18 μονοι] -νον οι A† || 19 init.] pr. και S | λεγοντι] -τες εστι A†, ειπων S*† | υπεστρωσαν πυρ] tr. A | το > ASc | διερεθιζον] -ζοντες A† | προσεπικατετεινον] πι > S†; pr. και S† || 20 αξονας] αυξ. A†: cf. Prou. 2 9 || 21 περιτετμημενον] -τετηκμενον A(†) | αβραμιαιος] αβρααμ υιος S*† || 23 αγωνα rau.] αιωνα SA || 24 στρατευσασθε] pr. ε S† || 25 και > Sc† || 26 προτερου] πρεσβυτερου S† | οργανω] τοις -νοις A† || 27 την] pr. και S† | ηκουσαν] ακουσαντες ειλκυσαν S*(†) (ειλκ. > Sc) || 28 μεχρι] + γε A† | παρδαλιοι A | απεσυρον] -ραν A || 29 θανατου τροπος] tr. A† || 30 πλεον] πλειον A | σε] + νυν A | τον > S*† | ημων] υμ. A || 31 μεν > S*† | ηδοναις] -νης A† || 32 μιαρωτ.] μιαιρ. A†: cf. 15

10 1 υπο] απο S*†